## Κείμενο 1ο

Ἡροδότου Ἁλικαρνησσέος ἱστορίης ἀπόδεξις ἥδε, ὡς μήτε τὰ γενόμενα ἐς ἀνθρώπων τῷ χρόνῳ ἐξίτηλα γένηται, μήτε ἔργα μεγάλα τε καὶ θωμαστά, τὰ μὲν Ἕλλησι τὰ δὲ βαρβάροισι ἀποδεχθέντα, ἀκλεᾶ γένηται, τά τε ἄλλα καὶ δι' ἣν αἰτίην ἐπολέμησαν ἀλλήλοισι.

Περσέων μέν νυν οἱ λόγιοι Φοίνικας αἰτίους φασί γενέσθαι τῆς διαφορῆς. τούτους γὰρ ἀπό τῆς Ἐρυθρῆς καλεομένης θαλάσσης ἀπικομένους ἐπὶ τήνδε τὴν θάλασσαν, καὶ οἰκήσαντας τοῦτον τὸν χῶρον τὸν καὶ νῦν οἰκέουσι, αὐτίκα ναυτιλίῃσι μακρῇσι ἐπιθέσθαι, ἀπαγινέοντας δὲ φορτία Αἰγύπτιά τε καὶ Ἀσσύρια τῇ τε ἄλλῃ ἐσαπικνέεσθαι καὶ δὴ καὶ ἐς Ἄργος. [2] τὸ δὲ Ἄργος τοῦτον τὸν χρόνον προεῖχε ἅπασι τῶν ἐν τῇ νῦν Ἑλλάδι καλεομένῃ χωρῇ. ἀπικομένους δὲ τούς Φοίνικας ἐς δὴ τὸ Ἄργος τοῦτο διατίθεσθαι τὸν φόρτον. [3] πέμπτῃ δὲ ἢ ἕκτῃ ἡμέρῃ ἀπ' ἧς ἀπίκοντο, ἐξεμπολημένων σφι σχεδόν πάντων, ἐλθεῖν ἐπὶ τὴν θάλασσαν γυναῖκας ἄλλας τε πολλάς καὶ δὴ καὶ τοῦ βασιλέος θυγατέρα· τὸ δέ οἱ οὔνομα εἶναι, κατὰ τὠυτὸ τὸ καὶ Ἕλληνές λέγουσι, Ἰοῦν τὴν Ἰνάχου· [4] ταύτας στάσας κατά πρύμνην τῆς νεὸς ὠνέεσθαι τῶν φορτίων τῶν σφι ἦν θυμός μάλιστα· καὶ τοὺς Φοίνικας διακελευσαμένους ὁρμῆσαι ἐπ' αὐτάς. τὰς μὲν δὴ πλεῦνας τῶν γυναικῶν ἀποφυγεῖν, τὴν δὲ Ἰοῦν σὺν ἄλλῃσι ἁρπασθῆναι ἐσβαλομένους δὲ ἐς τὴν νέα οἴχεσθαι ἀποπλέοντας ἐπ' Αἰγύπτου.

οὕτω μὲν Ἰοῦν ἐς Αἴγυπτον ἀπικέσθαι λέγουσι Πέρσαι, οὐκ ὡς Ἕλληνές, καὶ τῶν ἀδικημάτων πρῶτον τοῦτο ἄρξαι. μετὰ δὲ ταῦτα Ἑλλήνων τινάς (οὐ γὰρ ἔχουσι τοὔνομα ἀπηγήσασθαι) φασὶ τῆς Φοινίκης ἐς Τύρον προσσχόντας ἁρπάσαι τοῦ βασιλέος τὴν θυγατέρα Εὐρώπην. εἴησαν δ' ἂν οὗτοι Κρῆτες. ταῦτα μὲν δὴ ἴσα πρὸς ἴσα σφι γενέσθαι, μετὰ δὲ ταῦτα Ἕλληνας αἰτίους τῆς δευτέρης ἀδικίης γενέσθαι· [2] καταπλώσαντας γὰρ μακρῇ νηί ἐς Αἶαν τε τὴν Κολχίδα καὶ ἐπὶ Φᾶσιν ποταμόν, ἐνθεῦτεν, διαπρηξαμένους καὶ τἆλλα τῶν εἵνεκεν ἀπίκατο, ἁρπάσαι τοῦ βασιλέος τὴν θυγατέρα Μηδείην. [3] πέμψαντά δὲ τὸν Κόλχων βασιλέα ἐς τὴν Ἑλλάδα κήρυκα αἰτέειν τε δίκας τῆς ἁρπαγῆς καὶ ἀπαιτέειν τὴν θυγατέρα. τοὺς δὲ ὑποκρίνασθαι ὡς οὐδὲ ἐκεῖνοι Ἰοῦς τῆς Ἀργείης ἔδοσάν σφι δίκας τῆς ἁρπαγῆς· οὐδὲ ὦν αὐτοὶ δώσειν ἐκείνοισι.

δευτέρῃ δὲ λέγουσι γενεῇ μετὰ ταῦτα Ἀλέξανδρον τὸν Πριάμου, ἀκηκοότα ταῦτα, ἐθελῆσαί οἱ ἐκ τῆς Ἑλλάδος δι' ἁρπαγῆς γενέσθαι γυναῖκα, ἐπιστάμενον πάντως ὅτι οὐ δώσει δίκας. οὐδὲ γὰρ ἐκείνους διδόναι. [2] οὕτω δὴ ἁρπάσαντος αὐτοῦ Ἑλένην, τοῖσι Ἕλλησι δόξαι πρῶτον πέμψαντας ἀγγέλους ἀπαιτέειν τε Ἑλένην καὶ δίκας τῆς ἁρπαγῆς αἰτέειν. τοὺς δέ, προϊσχομένων ταῦτα, προφέρειν σφι Μηδείης τὴν ἁρπαγήν, ὡς οὐ δόντες αὐτοὶ δίκας οὐδὲ ἐκδόντες ἀπαιτεόντων βουλοίατό σφι παρ' ἄλλων δίκας γίνεσθαι.

Ἡ-ρο-δό-του Ἁ-λι-καρ-νησ-σέ-ος ἱ-στο-ρί-ης ἀ-πό-δε-ξις ἥ-δε, ὡς μή-τε τὰ γε-νό-με-να ἐς ἀν-θρώ-πων τῷ χρό-νῳ ἐξ-ί-τη-λα γέ-νη-ται, μή-τε ἔρ-γα με-γά-λα τε καὶ θω-μα-στά, τὰ μὲν Ἕλ-λη-σι τὰ δὲ βαρ-βά-ροι-σι ἀ-πο-δε-χθέν-τα, ἀ-κλε-ᾶ γέ-νη-ται, τά τε ἄλ-λα καὶ δι' ἣν αἰ-τί-ην ἐ-πο-λέ-μη-σαν ἀλ-λή-λοι-σι.

Περ-σέ-ων μέν νυν οἱ λό-γι-οι Φοί-νι-κας αἰ-τί-ους φα-σί γε-νέ-σθαι τῆς δι-α-φο-ρῆς. τού-τους γὰρ ἀ-πὸ τῆς Ἐ-ρυ-θρῆς κα-λε-ο-μέ-νης θα-λάσ-σης ἀ-πι-κο-μέ-νους ἐ-πὶ τήν-δε τὴν θά-λασ-σαν, καὶ οἰ-κή-σαν-τας τοῦ-τον τὸν χῶ-ρον τὸν καὶ νῦν οἰ-κέ-ου-σι, αὐ-τί-κα ναυ-τι-λί-ῃ-σι μα-κρῇ-σι ἐ-πι-θέ-σθαι, ἀ-πα-γι-νέ-ον-τας δὲ φορ-τί-α Αἰ-γύ-πτι-ά τε καὶ Ἀσ-σύ-ρι-α τῇ τε ἄλ-λῃ ἐσ-α-πι-κνέ-ε-σθαι καὶ δὴ καὶ ἐς Ἄρ-γος. [2] τὸ δὲ Ἄρ-γος τοῦ-τον τὸν χρό-νον προ-εῖ-χε ἅ-πα-σι τῶν ἐν τῇ νῦν Ἑλ-λά-δι κα-λε-ο-μέ-νῃ χω-ρῇ. ἀ-πι-κο-μέ-νους δὲ τούς Φοί-νι-κας ἐς δὴ τὸ Ἄρ-γος τοῦ-το δι-α-τί-θε-σθαι τὸν φόρ-τον. [3] πέμ-πτῃ δὲ ἢ ἕ-κτῃ ἡ-μέ-ρῃ ἀπ' ἧς ἀ-πί-κον-το, ἐξ-εμ-πο-λη-μέ-νων σφι σχε-δόν πάν-των, ἐλ-θεῖν ἐ-πὶ τὴν θά-λασ-σαν γυ-ναῖ-κας ἄλ-λας τε πολ-λάς καὶ δὴ καὶ τοῦ βα-σι-λέ-ος θυ-γα-τέ-ρα· τὸ δέ οἱ οὔ-νο-μα εἶ-ναι, κα-τὰ τὠ-υ-τὸ τὸ καὶ Ἕλ-λη-νές λέ-γου-σι, Ἰ-οῦν τὴν Ἰ-νά-χου· [4] ταύ-τας στά-σας κα-τά πρύ-μνην τῆς νε-ὸς ὠ-νέ-ε-σθαι τῶν φορ-τί-ων τῶν σφι ἦν θυ-μός μά-λι-στα· καὶ τοὺς Φοί-νι-κας δι-α-κε-λευ-σα-μέ-νους ὁρ-μῆ-σαι ἐπ' αὐ-τάς. τὰς μὲν δὴ πλεῦ-νας τῶν γυ-ναι-κῶν ἀ-πο-φυ-γεῖν, τὴν δὲ Ἰ-οῦν σὺν ἄλ-λῃ-σι ἁρ-πα-σθῆ-ναι ἐσ-βα-λο-μέ-νους δὲ ἐς τὴν νέ-α οἴ-χε-σθαι ἀ-πο-πλέ-ον-τας ἐπ' Αἰ-γύ-πτου.

οὕ-τω μὲν Ἰ-οῦν ἐς Αἴ-γυ-πτον ἀ-πι-κέ-σθαι λέ-γου-σι Πέρ-σαι, οὐκ ὡς Ἕλ-λη-νές, καὶ τῶν ἀ-δι-κη-μά-των πρῶ-τον τοῦ-το ἄρ-ξαι. με-τὰ δὲ ταῦ-τα Ἑλ-λή-νων τι-νάς (οὐ γὰρ ἔ-χου-σι τοὔ-νο-μα ἀ-πη-γή-σα-σθαι) φα-σὶ τῆς Φοι-νί-κης ἐς Τύ-ρον προσ-σχόν-τας ἁρ-πά-σαι τοῦ βα-σι-λέ-ος τὴν θυ-γα-τέ-ρα Εὐ-ρώ-πην. εἴ-η-σαν δ' ἂν οὗ-τοι Κρῆ-τες. ταῦ-τα μὲν δὴ ἴ-σα πρὸς ἴ-σα σφι γε-νέ-σθαι, με-τὰ δὲ ταῦ-τα Ἕλ-λη-νας αἰ-τί-ους τῆς δευ-τέ-ρης ἀ-δι-κί-ης γε-νέ-σθαι· [2] κα-τα-πλώ-σαν-τας γὰρ μα-κρῇ νη-ί ἐς Αἶ-αν τε τὴν Κολ-χί-δα καὶ ἐ-πὶ Φᾶ-σιν πο-τα-μόν, ἐν-θεῦ-τεν, δι-α-πρη-ξα-μέ-νους καὶ τἆλ-λα τῶν εἵ-νε-κεν ἀ-πί-κα-το, ἁρ-πά-σαι τοῦ βα-σι-λέ-ος τὴν θυ-γα-τέ-ρα Μη-δεί-ην. [3] πέμ-ψαν-τά δὲ τὸν Κόλ-χων βα-σι-λέ-α ἐς τὴν Ἑλ-λά-δα κή-ρυ-κα αἰ-τέ-ειν τε δί-κας τῆς ἁρ-πα-γῆς καὶ ἀ-παι-τέ-ειν τὴν θυ-γα-τέ-ρα. τοὺς δὲ ὑ-πο-κρί-να-σθαι ὡς οὐ-δὲ ἐ-κεῖ-νοι Ἰ-οῦς τῆς Ἀρ-γεί-ης ἔ-δο-σάν σφι δί-κας τῆς ἁρ-πα-γῆς· οὐ-δὲ ὤν αὐ-τοὶ δώ-σειν ἐ-κεί-νοι-σι.

δευ-τέ-ρῃ δὲ λέ-γου-σι γε-νε-ῇ με-τὰ ταῦ-τα Ἀ-λέ-ξαν-δρον τὸν Πρι-ά-μου, ἀ-κη-κο-ό-τα ταῦ-τα, ἐ-θε-λῆ-σαί οἱ ἐκ τῆς Ἑλ-λά-δος δι' ἁρ-πα-γῆς γε-νέ-σθαι γυ-ναῖ-κα, ἐ-πι-στά-με-νον πάν-τως ὅ-τι οὐ δώ-σει δί-κας. οὐ-δὲ γὰρ ἐ-κεί-νους δι-δό-ναι. [2] οὕ-τω δὴ ἁρ-πά-σαν-τος αὐ-τοῦ Ἑ-λέ-νην, τοῖ-σι Ἕλ-λη-σι δό-ξαι πρῶ-τὸν πέμ-ψαν-τας ἀγ-γέ-λους ἀ-παι-τέ-ειν τε Ἑ-λέ-νην καὶ δί-κας τῆς ἁρ-

πα-γῆς αἰ-τέ-ειν. τοὺς δέ, προ-ϊ-σχο-μέ-νων ταῦ-τα, προ-φέ-ρειν σφι Μη-δεί-ης τὴν ἁρ-πα-γήν, ὡς οὐ δόν-τες αὐ-τοὶ δί-κας οὐ-δὲ ἐκ-δόν-τες ἀ-παι-τε-όν-των βου-λοί-α-τό σφι παρ' ἄλ-λων δί-κας γί-νε-σθαι.

Ἡρόδοτος, *Ἱστορῖαι*, Α′ (I–III)

## Κείμενο 2ο

Ἐντεῦθεν ἐξελαύνει σταθμοὺς τρεῖς παρασάγγας πεντεκαίδεκα παρὰ τὸν Εὐφράτην ποταμόν, ὄντα τὸ εὖρος τεττάρων σταδίων· καὶ πόλις αὐτόθι ᾠκεῖτο μεγάλη καὶ εὐδαίμων Θάψακος ὄνομα. Ἐνταῦθα ἔμεινεν ἡμέρας πέντε. Καὶ Κῦρος μεταπεμψάμενος τοὺς στρατηγοὺς τῶν Ἑλλήνων ἔλεγεν ὅτι ἡ ὁδὸς ἔσοιτο πρὸς βασιλέαν μέγαν εἰς Βαβυλῶνα· καὶ κελεύει αὐτοὺς λέγειν ταῦτα τοῖς στρατιώταις καὶ ἀναπείθειν ἕπεσθαι. Οἱ δὲ ποιήσαντες ἐκκλησίαν ἀπήγγελον ταῦτα· οἱ δὲ στρατιῶται ἐχαλέπαινον τοῖς στρατηγοῖς, καὶ ἔφασαν αὐτοὺς πάλαι ταῦτ' εἰδότας κρύπτειν, καὶ οὐκ ἔφασαν ἰέναι, ἐὰν μή τις αὐτοῖς χρήματα διδῷ, ὥσπερ τοῖς προτέροις μετὰ Κύρου ἀναβᾶσι [παρὰ τὸν πατέρα τοῦ Κύρου], καὶ ταῦτα οὐκ ἐπὶ μάχην ἰόντων, ἀλλὰ καλοῦντος τοῦ πατρὸς Κῦρον. Ταῦτα οἱ στρατηγοὶ Κύρῳ ἀπήγγελον. Ὁ δ' ὑπέσχετο ἀνδρὶ ἑκάστῳ δώσειν πέντε ἀργυρίου μνᾶς, ἐπὰν εἰς Βαβυλῶνα ἥκωσι, καὶ τὸν μισθὸν ἐντελῆ μέχρι ἂν καταστήσῃ τοὺς Ἕλληνας εἰς Ἰωνίαν πάλιν. Τὸ μὲν δὴ πολὺ τοῦ Ἑλληνικοῦ οὕτως ἐπείσθη.

Ἐν-τεῦ-θεν ἐξ-ε-λαύ-νει στα-θμοὺς τρεῖς πα-ρα-σάγ-γας πεν-τε-καί-δε-κα πα-ρὰ τὸν Εὐ-φρά-την πο-τα-μόν, ὄν-τα τὸ εὖ-ρος τετ-τά-ρων στα-δί-ων· καὶ πό-λις αὐ-τό-θι ᾠ-κεῖ-το με-γά-λη καὶ εὐ-δαί-μων Θά-ψα-κος ὄ-νο-μα. Ἐν-ταῦ-θα ἔ-μει-νεν ἡ-μέ-ρας πέν-τε. Καὶ Κῦ-ρος με-τα-πεμ-ψά-με-νος τοὺς στρα-τη-γοὺς τῶν Ἑλ-λή-νων ἔ-λε-γεν ὅ-τι ἡ ὁ-δὸς ἔ-σοι-το πρὸς βα-σι-λέ-αν μέ-γαν εἰς Βα-βυ-λῶ-να· καὶ κε-λεύ-ει αὐ-τοὺς λέ-γειν ταῦ-τα τοῖς στρα-τι-ώ-ταις καὶ ἀ-να-πεί-θειν ἕ-πε-σθαι. Οἱ δὲ ποι-ή-σαν-τες ἐκ-κλη-σί-αν ἀ-πήγ-γε-λον ταῦ-τα· οἱ δὲ στρα-τι-ῶ-ται ἐ-χα-λέ-παι-νον τοῖς στρα-τη-γοῖς, καὶ ἔ-φα-σαν αὐ-τοὺς πά-λαι ταῦτ' εἰ-δό-τας κρύ-πτειν, καὶ οὐκ ἔ-φα-σαν ἰ-έ-ναι, ἐ-ὰν μή τις αὐ-τοῖς χρή-μα-τα δι-δῷ, ὥσ-περ τοῖς προ-τέ-ροις με-τὰ Κύ-ρου ἀ-να-βᾶ-σι [πα-ρὰ τὸν πα-τέ-ρα τοῦ Κύ-ρου], καὶ ταῦ-τα οὐκ ἐ-πὶ μά-χην ἰ-όν-των, ἀλ-λὰ κα-λοῦν-τος τοῦ πα-τρὸς Κῦ-ρον. Ταῦ-τα οἱ στρα-τη-γοὶ Κύ-ρῳ ἀ-πήγ-γε-λον. Ὁ δ' ὑ-πέ-σχε-το ἀν-δρὶ ἑ-κά-στῳ δώ-σειν πέν-τε ἀρ-γυ-ρί-ου μνᾶς, ἐ-πὰν εἰς Βα-βυ-λῶ-να ἥ-κω-σι, καὶ τὸν μι-σθὸν ἐν-τε-λῆ μέ-χρι ἂν κα-τα-στή-σῃ τοὺς Ἕλ-λη-νας εἰς Ἰ-ω-νί-αν πά-λιν. Τὸ μὲν δὴ πο-λὺ τοῦ Ἑλ-λη-νι-κοῦ οὔ-τως ἐ-πεί-σθη.

Ξενοφών, *Κύρου ἀναβάσεως Α′* (1.IV.11–1.IV.13)

**Κείμενο 3ο**

Περὶ μὲν τῶν κατηγορημένων, ὦ ἄνδρες δικασταί, ἱκανῶς ὑμὶν ἀποδέδεικται· ἀκοῦσαι δὲ καὶ περὶ τῶν ἄλλων ὑμᾶς ἀξιῶ, ἵν' ἐπίστησθε περὶ οἵου τινὸς ὄντος ἐμοῦ ψηφιεῖσθαι. ἐγὼ γὰρ ἐδοκιμάσθην μὲν ἐπὶ Θεοπόμπου ἄρχοντος, καταστὰς δὲ χορηγὸς τραγῳδοῖς ἀνήλωσα τριάκοντα μνᾶς καὶ τρίτῳ μηνὶ Θαργηλίοις νικήσας ἀνδρικῷ χορῷ δισχιλίας δραχμάς, ἐπὶ δὲ Γλαυκίππου ἄρχοντος εἰς πυρριχιστὰς Παναθηναίοις τοῖς μεγάλοις ὀκτακοσίας. ἔτι δ' ἀνδράσι χορηγῶν εἰς Διονύσια ἐπὶ τοῦ αὐτοῦ ἄρχοντος ἐνίκησα, καὶ ἀνήλωσα σὺν τῇ τοῦ τρίποδος ἀναθέσει πεντακισχιλίας δραχμάς, καὶ ἐπὶ Διοκλέους Παναθηναίοις τοῖς μικροῖς κυκλίῳ χορῷ τριακοσίας. τὸν δὲ μεταξὺ χρόνον ἐτριηράρχουν ἑπτὰ ἔπτὰ ἔτη, καὶ ἓξ τάλαντα ἀνήλωσα. καὶ τοσαύτας δαπάνας δαπανώμενος καὶ καθ' ἡμέραν ὑπὲρ ὑμῶν κινδυνεύων καὶ ἀποδημῶν, ὅμως εἰσφορὰς τὴν μὲν τριάκοντα μνᾶς τὴν δὲ τετρακισχιλίας δραχμὰς εἰσενήνοχα. ἐπειδὴ δὲ κατέπλευσα ἐπὶ Ἀλεξίου ἄρχοντος, εὐθὺς ἐγυμνασιάρχουν εἰς Προμήθεια, καὶ ἐνίκων ἀναλώσας δώδεκα μνᾶς. καὶ ὕστερον κατέστην χορηγὸς παιδικῷ χορῷ καὶ ἀνήλωσα πλέον ἢ πεντεκαίδεκα μνᾶς. ἐπὶ δὲ Εὐκλείδου ἄρχοντος κωμῳδοῖς χωρηγὸν Κηφισοδώρῳ ἐνίκων, καὶ ἀνήλωσα σὺν τῇ τῆς σκευῆς ἀναθέσει ἑκκαίδεκα μνᾶς, καὶ Παναθηναίοις τοῖς μικροῖς ἐχορήγουν πυρριχισταῖς ἀγενείοις, καὶ ἀνήλωσα ἑπτὰ μνᾶς. νενίκηκα δὲ τριήρει μὲν ἁμιλλώμενος ἐπὶ Σουνίῳ, ἀναλώσας πεντεκαίδεκα μνᾶς· χωρὶς δὲ ἀρχιθεωρίας καὶ Ἐρρηφορίας καὶ ἄλλα τοιαῦτα, εἰς ἃ ἐμοὶ δεδαπάνηται πλέον ἢ τριάκοντα μναῖ. καὶ τούτων ὧν κατέλεξα, εἰ ἐβουλόμην κατὰ τὰ γεγραμμένα ἐν τῷ νόμῳ λητουργεῖν, οὐδ' ἂν τὸ τέταρτον μέρος ἀνήλωσα. τὸν δὲ χρόνον ὃν ἐτριηράρχουν, ἡ ναῦς ἄριστά μοι ἔπλει παντὸς τοῦ στρατοπέδου. τεκμήριον δὲ τούτου ὑμῖν μέγιστον ἐρῶ. πρῶτον μὲν γὰρ Ἀλκιβιάδης, ὃν ἐγὼ περὶ πολλοῦ ἂν ἐποιησάμην μὴ συμπλεῖν μοι, οὔτε φίλος ὢν οὔτε συγγενὴς οὔτε φυλέτης ἔπλει ἐπὶ τῆς ἐμῆς νεώς.

Πε-ρὶ μὲν τῶν κα-τη-γο-ρη-μέ-νων, ὦ ἄν-δρες δι-κα-σταί, ἱ-κα-νῶς ὑ-μὶν ἀ-πο-δέ-δει-κται· ἀ-κοῦ-σαι δὲ καὶ πε-ρὶ τῶν ἄλ-λων ὑ-μᾶς ἀ-ξι-ῶ, ἵν' ἐ-πί-στη-σθε πε-ρὶ οἵ-ου τι-νὸς ὄν-τος ἐ-μοῦ ψη-φι-εῖ-σθαι. ἐ-γὼ γὰρ ἐ-δο-κι-μά-σθην μὲν ἐ-πὶ Θε-ο-πόμ-που ἄρ-χον-τος, κα-τα-στὰς δὲ χο-ρη-γὸς τρα-γῳ-δοῖς ἀ-νή-λω-σα τρι-ά-κον-τα μνᾶς καὶ τρί-τῳ μη-νὶ Θαρ-γη-λί-οις νι-κή-σας ἀν-δρι-κῷ χο-ρῷ δισ-χι-λί-ας δρα-χμάς, ἐ-πὶ δὲ Γλαυ-κίπ-που ἄρ-χον-τος εἰς πυρ-ρι-χι-στὰς Παν-α-θη-ναί-οις τοῖς με-γά-λοις ὀ-κτα-κο-σί-ας. ἔ-τι δ' ἀν-δρά-σι χο-ρη-γῶν εἰς Δι-ο-νύ-σι-α ἐ-πὶ τοῦ αὐ-τοῦ ἄρ-χον-τος ἐ-νί-κη-σα, καὶ ἀ-νή-λω-σα σὺν τῇ τοῦ τρί-πο-δος ἀ-να-θέ-σει πεν-τα-κισ-χι-λί-ας δρα-χμάς, καὶ ἐ-πὶ Δι-ο-κλέ-ους Παν-α-θη-ναί-οις τοῖς μι-κροῖς κυ-κλί-ῳ χο-ρῷ τρι-α-κο-σί-ας. τὸν δὲ με-τα-ξὺ

χρό-νον ἐ-τρι-η-ράρ-χουν ἕ-πτὰ ἕ-πτὰ ἔ-τη, καὶ ἓξ τά-λαν-τα ἀ-νή-λω-σα. καὶ το-σαύ-τας δα-πά-νας δα-πα-νώ-με-νος καὶ καθ' ἡ-μέ-ραν ὑ-πὲρ ὑ-μῶν κιν-δυ-νεύ-ων καὶ ἀ-πο-δη-μῶν, ὅ-μως εἰσ-φο-ρὰς τὴν μὲν τρι-ά-κον-τα μνᾶς τὴν δὲ τε-τρα-κισ-χι-λί-ας δρα-χμὰς εἰσ-ε-νή-νο-χα. ἐ-πει-δὴ δὲ κα-τέ-πλευ-σα ἐ-πὶ Ἀ-λε-ξί-ου ἄρ-χον-τος, εὐ-θὺς ἐ-γυ-μνα-σι-άρ-χουν εἰς Προ-μή-θει-α, καὶ ἐ-νί-κων ἀ-να-λώ-σας δώ-δε-κα μνᾶς. καὶ ὕ-στε-ρον κα-τέ-στην χο-ρη-γὸς παι-δι-κῷ χο-ρῷ καὶ ἀ-νή-λω-σα πλέ-ον ἢ πεν-τε-καί-δε-κα μνᾶς. ἐ-πὶ δὲ Εὐ-κλεί-δου ἄρ-χον-τος κω-μῳ-δοῖς χω-ρη-γὸν Κη-φι-σο-δώ-ρῳ ἐ-νί-κων, καὶ ἀ-νή-λω-σα σὺν τῇ τῆς σκευ-ῆς ἀ-να-θέ-σει ἑκ-καί-δε-κα μνᾶς, καὶ Παν-α-θη-ναί-οις τοῖς μι-κροῖς ἐ-χο-ρή-γουν πυρ-ρι-χι-σταῖς ἀ-γε-νεί-οις, καὶ ἀ-νή-λω-σα ἑ-πτὰ μνᾶς. νε-νί-κη-κα δὲ τρι-ή-ρει μὲν ἁ-μιλ-λώ-με-νος ἐ-πὶ Σου-νί-ῳ, ἀ-να-λώ-σας πεν-τε-καί-δε-κα μνᾶς· χω-ρὶς δὲ ἀρ-χι-θε-ω-ρί-ας καὶ Ἐρ-ρη-φο-ρί-ας καὶ ἄλ-λα τοι-αῦ-τα, εἰς ἃ ἐ-μοὶ δε-δα-πά-νη-ται πλέ-ον ἢ τρι-ά-κον-τα μναῖ. καὶ τού-των ὧν κα-τέ-λε-ξα, εἰ ἐ-βου-λό-μην κα-τὰ τὰ γε-γραμ-μέ-να ἐν τῷ νό-μῳ λῃ-τουρ-γεῖν, οὐδ' ἂν τὸ τέ-ταρ-τον μέ-ρος ἀ-νή-λω-σα. τὸν δὲ χρό-νον ὃν ἐ-τρι-η-ράρ-χουν, ἡ ναῦς ἄ-ρι-στά μοι ἔ-πλει παν-τὸς τοῦ στρα-το-πέ-δου. τε-κμή-ρι-ον δὲ τού-του ὑ-μῖν μέ-γι-στον ἐ-ρῶ. πρῶ-τον μὲν γὰρ Ἀλ-κι-βι-ά-δης, ὃν ἐ-γὼ πε-ρὶ πολ-λοῦ ἂν ἐ-ποι-η-σά-μην μὴ συμ-πλεῖν μοι, οὔ-τε φί-λος ὢν οὔ-τε συγ-γε-νὴς οὔ-τε φυ-λέ-της ἔ-πλει ἐ-πὶ τῆς ἐ-μῆς νε-ώς.

*Λυσίας, Ἀπολογία δωροδοκίας ἀπαράσημος* (21.1–21.6)

## Κείμενο 4ο

Ἔτι δὲ παῖς ὢν ὁμολογεῖται φορᾶς μεστὸς εἶναι, καὶ τῇ μὲν φύσει συνετός, τῇ δὲ προαιρέσει μεγαλοπράγμων καὶ πολιτικός. ἐν γὰρ ταῖς ἀνέσεσι καὶ σχολαῖς ἀπὸ μαθημάτων γινόμενος οὐκ ἔπαιζεν οὐδ' ἐρρᾳθύμει, καθάπερ οἱ λοιποὶ παῖδες, ἀλλ' εὑρίσκετο λόγους τινὰς μελετῶν καὶ συνταττόμενος πρὸς ἑαυτόν. ἦσαν δ' οἱ λόγοι κατηγορία τινὸς ἢ συνηγορία τῶν παίδων. ὅθεν εἰώθει λέγειν πρὸς ἑαυτὸν ὁ διδάσκαλος ὡς «οὐδὲν ἔσῃ, παῖ, σὺ μικρόν, ἀλλὰ μέγα πάντως ἀγαθὸν ἢ κακόν». ἐπεὶ καὶ τῶν παιδεύσεων τὰς μὲν ἠθοποιοὺς ἢ πρὸς ἡδονήν τινα καὶ χάριν ἐλευθέριον σπουδαζομένας ὀκνηρῶς καὶ ἀπροθύμως ἐξεμάνθανε, τῶν δὲ εἰς σύνεσιν ἢ πρᾶξιν λεγομένων δῆλος ἦν ὑπερορῶν παρ' ἡλικίαν, ὡς τῇ φύσει πιστεύων.

ὅθεν ὕστερον ἐν ταῖς ἐλευθερίοις καὶ ἀστείαις λεγομένας διατριβαῖς ὑπὸ τῶν πεπαιδεῦσθαι δοκούντων χλευαζόμενος ἠνεγκάζετο φορτικώτερον ἀμύνεσθαι, λέγων ὅτι λύραν μὲν ἁρμόσασθαι καὶ μεταχειρίσασθαι ψαλτήριον οὐκ ἐπίσταται, πόλιν δὲ μικρὰν καὶ ἄδοξον παραλαβὼν ἔνδοξον καὶ μεγάλην ἀπεργάσασθαι.

καίτοι Στησίμβροτος Ἀναξαγόρου τε διακοῦσαι τὸν Θεμιστοκλέα φησὶ καὶ περὶ Μέλισσον σπουδάσαι τὸν φυσικόν, οὐκ εὖ τῶν χρόνων ἁπτόμενος· Περικλεῖ γάρ, ὃς πολὺ νεώτερος ἦν Θεμιστοκλέους, Μέλισσος μὲν ἀντεστρατήγει πολιορκοῦντι Σαμίους, Ἀναξαγόρας δὲ συνδιέτριβε.

μᾶλλον οὖν ἄν τις προσέχοι τοῖς Μνησιφίλου τὸν Θεμιστοκλέα τοῦ Φρεαρίου ζηλωτὴν γενέσθαι λέγουσιν, οὔτε ῥήτορος ὄντος οὔτε τῶν φυσικῶν κληθέντων φιλοσόφων, ἀλλὰ τὴν τότε καλουμένην σοφίαν, οὖσα δὲ δεινότητα πολιτικὴν καὶ δραστήριον σύνεσιν, ἐπιτήδευμα πεποιημένου καὶ διασῴζοντος ὥσπερ αἵρεσιν ἐκ διαδοχῆς ἀπὸ Σόλωνος· ἣν οἱ μετὰ ταῦτα δικανικαῖς μίξαντες τέχναις καὶ μεταγαγόντες ἀπὸ τῶν πράξεων τὴν ἄσκησιν ἐπὶ τοὺς λόγους, σοφισταὶ προσηγορεύθησαν. τούτῳ μὲν οὖν ἤδη πολιτευόμενος ἐπλησίαζεν.

ἐν δὲ ταῖς πρώταις τῆς νεότητος ὁρμαῖς ἀνώμαλος ἦν καὶ ἀστάθμητος, ἅτε τῇ φύσει καθ' αὑτὴν χρώμενος ἄνευ λόγου καὶ παιδείας ἐπ' ἀμφότερα μεγάλας ποιουμένῃ μεταβολὰς τῶν ἐπιτηδευμάτων καὶ πολλάκις ἐξισταμένῃ πρὸς τὸ χεῖρον, ὡς ὕστερον αὐτὸς ὡμολόγει, καὶ τοὺς τραχυτάτους πώλους ἀρίστους ἵππους γίγνεσθαι φάσκων, ὅταν ἧς προσήκει τύχωσι παιδείας καὶ καταρτύσεως. ἃ δὲ τούτων ἐξαρτῶσιν ἔνιοι διηγήματα πλάττοντες, ἀποκήρυξιν μὲν ὑπὸ τοῦ πατρὸς αὐτοῦ, θάνατον δὲ τῆς μητρὸς ἑκούσιον ἐπὶ τῇ τοῦ παιδὸς ἀτιμίᾳ περιλύπου γενομένης, δοκεῖ κατεψεῦσθαι· καὶ τοὐναντίον εἰσὶν οἱ λέγοντες, ὅτι τοῦ τὰ κοινὰ πράττειν ἀποτρέπων αὐτὸν ὁ πατὴρ ἐπεδείκνυε πρὸς τῇ θαλάττῃ τὰς παλαιὰς τριήρεις ἐρριμένας καὶ παρορωμένας, ὡς δὴ καὶ πρὸς τοὺς δημαγωγούς, ὅταν ἄχρηστοι φαίνωνται, τῶν πολλῶν ὁμοίως ἐχόντων.

Ἔ-τι δὲ παῖς ὢν ὁ-μο-λο-γεῖ-ται φο-ρᾶς με-στὸς εἶ-ναι, καὶ τῇ μὲν φύ-σει συν-ε-τός, τῇ δὲ προ-αι-ρέ-σει με-γα-λο-πρά-γμων καὶ πο-λι-τι-κός. ἐν γὰρ ταῖς ἀ-νέ-σε-σι καὶ σχο-λαῖς ἀ-πὸ μα-θη-μά-των γι-νό-με-νος οὐκ ἔ-παι-ζεν οὐδ' ἐρ-ρᾳ-θύ-μει, κα-θά-περ οἱ λοι-ποὶ παῖ-δες, ἀλλ' εὑ-ρί-σκε-το λό-γους τι-νὰς με-λε-τῶν καὶ συν-τατ-τό-με-νος πρὸς ἑ-αυ-τόν. ἦ-σαν δ' οἱ λό-γοι κα-τη-γο-ρί-α τι-νὸς ἢ συν-η-γο-ρί-α τῶν παί-δων. ὅ-θεν εἰ-ώ-θει λέ-γειν πρὸς ἑ-αυ-τὸν ὁ δι-δά-σκα-λος ὡς «οὐ-δὲν ἔ-σῃ, παῖ, σὺ μι-κρόν, ἀλ-λὰ μέ-γα πάν-τως ἀ-γα-θὸν ἢ κα-κόν». ἐ-πεὶ καὶ τῶν παι-δεύ-σε-ων τὰς μὲν ἠ-θο-ποι-οὺς ἢ πρὸς ἡ-δο-νήν τι-να καὶ χά-ριν ἐ-λευ-θέ-ρι-ον σπου-δα-ζο-μέ-νας ὀ-κνη-ρῶς καὶ ἀ-προ-θύ-μως ἐξ-ε-μάν-θα-νε, τῶν δὲ εἰς σύν-ε-σιν ἢ πρά-ξιν λε-γο-μέ-νων δῆ-λος ἦν ὑ-περ-ο-ρῶν παρ' ἡ-λι-κί-αν, ὡς τῇ φύ-σει πι-στεύ-ων.

ὅ-θεν ὕ-στε-ρον ἐν ταῖς ἐ-λευ-θε-ρί-οις καὶ ἀ-στεί-αις λε-γο-μέ-νας δι-α-τρι-βαῖς ὑ-πὸ τῶν πε-παι-δεῦ-σθαι δο-κούν-των χλευ-α-ζό-με-νος ἠ-νεγ-κά-ζε-το φορ-τι-κώ-τε-ρον ἀ-μύ-νε-σθαι, λέ-γων ὅ-τι λύ-ραν μὲν ἁρ-μό-σα-σθαι καὶ με-τα-χει-ρί-σα-σθαι ψαλ-τή-ρι-ον οὐκ ἐ-πί-στα-ται, πό-λιν δὲ μι-κρὰν καὶ ἄ-δο-ξον

πα-ρα-λα-βὼν ἔν-δο-ξον καὶ με-γά-λην ἀ-περ-γά-σα-σθαι. καί-τοι Στη-σίμ-βρο-τος Ἀ-να-ξα-γό-ρου τε δι-α-κοῦ-σαι τὸν Θε-μι-στο-κλέ-α φη-σὶ καὶ πε-ρὶ Μέ-λισ-σον σπου-δά-σαι τὸν φυ-σι-κόν, οὐκ εὖ τῶν χρό-νων ἁ-πτό-με-νος· Πε-ρι-κλεῖ γάρ, ὃς πο-λὺ νε-ώ-τε-ρος ἦν Θε-μι-στο-κλέ-ους, Μέ-λισ-σος μὲν ἀν-τε-στρα-τή-γει πο-λι-ορ-κοῦν-τι Σα-μί-ους, Ἀ-να-ξα-γό-ρας δὲ συν-δι-έ-τρι-βε.

μᾶλ-λον οὖν ἄν τις προσ-έ-χοι τοῖς Μνη-σι-φί-λου τὸν Θε-μι-στο-κλέ-α τοῦ Φρε-α-ρί-ου ζη-λω-τὴν γε-νέ-σθαι λέ-γου-σιν, οὔ-τε ῥή-το-ρος ὄν-τος οὔ-τε τῶν φυ-σι-κῶν κλη-θέν-των φι-λο-σό-φων, ἀλ-λὰ τὴν τό-τε κα-λου-μέ-νην σο-φί-αν, οὖ-σα δὲ δει-νό-τη-τα πο-λι-τι-κὴν καὶ δρα-στή-ρι-ον σύν-ε-σιν, ἐ-πι-τή-δευ-μα πε-ποι-η-μέ-νου καὶ δι-α-σώ-ζον-τος ὥσ-περ αἵ-ρε-σιν ἐκ δι-α-δο-χῆς ἀ-πὸ Σό-λω-νος· ἣν οἱ με-τὰ ταῦ-τα δι-κα-νι-καῖς μί-ξαν-τες τέ-χναις καὶ με-τα-γα-γόν-τες ἀ-πὸ τῶν πρά-ξε-ων τὴν ἄ-σκη-σιν ἐ-πὶ τοὺς λό-γους, σο-φι-σταὶ προσ-η-γο-ρεύ-θη-σαν. τού-τῳ μὲν οὖν ἤ-δη πο-λι-τευ-ό-με-νος ἐ-πλη-σί-α-ζεν.

ἐν δὲ ταῖς πρώ-ταις τῆς νε-ό-τη-τος ὁρ-μαῖς ἀν-ώ-μα-λος ἦν καὶ ἀ-στά-θμη-τος, ἅ-τε τῇ φύ-σει καθ' αὑ-τὴν χρώ-με-νος ἄ-νευ λό-γου καὶ παι-δεί-ας ἐπ' ἀμ-φό-τε-ρα με-γά-λας ποι-ου-μέ-νη με-τα-βο-λὰς τῶν ἐ-πι-τη-δευ-μά-των καὶ πολ-λά-κις ἐξ-ι-στα-μέ-νη πρὸς τὸ χεῖ-ρον, ὡς ὕ-στε-ρον αὐ-τὸς ὡ-μο-λό-γει, καὶ τοὺς τρα-χυ-τά-τους πώ-λους ἀ-ρί-στους ἵπ-πους γί-γνε-σθαι φά-σκων, ὅ-ταν ἧς προσ-ή-κει τύ-χω-σι παι-δεί-ας καὶ κα-ταρ-τύ-σε-ως. ἃ δὲ τού-των ἐξ-αρ-τῶ-σιν ἔ-νι-οι δι-η-γή-μα-τα πλάτ-τον-τες, ἀ-πο-κή-ρυ-ξιν μὲν ὑ-πὸ τοῦ πα-τρὸς αὐ-τοῦ, θά-να-τον δὲ τῆς μη-τρὸς ἑ-κού-σι-ον ἐ-πὶ τῇ τοῦ παι-δὸς ἀ-τι-μί-ᾳ πε-ρι-λύ-που γε-νο-μέ-νης, δο-κεῖ κα-τε-ψεῦ-σθαι· καὶ τοὐ-ναν-τί-ον εἰ-σὶν οἱ λέ-γον-τες, ὅ-τι τοῦ τὰ κοι-νὰ πράτ-τειν ἀ-πο-τρέ-πων αὐ-τὸν ὁ πα-τὴρ ἐ-πε-δεί-κνυ-ε πρὸς τῇ θα-λάτ-τῃ τὰς πα-λαι-ὰς τρι-ή-ρεις ἐρ-ρι-μέ-νας καὶ πα-ρο-ρω-μέ-νας, ὡς δὴ καὶ πρὸς τοὺς δη-μα-γω-γούς, ὅ-ταν ἄ-χρη-στοι φαί-νων-ται, τῶν πολ-λῶν ὁ-μοί-ως ἐ-χόν-των.

Πλούταρχος, *Βίοι* (Θεμιστοκλῆς, II.1–II.5)

## Κείμενο 5ο

εἰρηκόσι δ' ἡμῖν περὶ τῆς Ἰβηρίας καὶ τῶν Κελτικῶν ἐθνῶν καὶ τῶν Ἰταλικῶν σὺν ταῖς πλησίον νήσοις ἐφεξῆς ἂν εἴη λέγειν τὰ λειπόμενα τῆς Εὐρώπης μέρη, διελοῦσι τὸν ἐνδεχόμενον τρόπον. λείπεται δὲ τὰ πρὸς ἕω μὲν τὰ πέραν τοῦ Ῥήνου μέχρι τοῦ Τανάιδος καὶ τοῦ στόματος τῆς Μαιώτιδος λίμνης, καὶ ὅσα μεταξὺ τοῦ Ἀδρίου καὶ τῶν ἀριστερῶν τῆς Ποντικῆς θαλάττης μερῶν ἀπολαμβάνει πρὸς νότον μέχρι τῆς Ἑλλάδος καὶ τῆς Προποντίδος ὁ Ἴστρος· διαιρεῖ γὰρ οὗτος ἅπασαν ὡς ἐγγυτάτω δίχα τὴν λεχθεῖσαν γῆν, μέγιστος τῶν κατὰ

τὴν Εὐρώπην ποταμῶν, ῥέων πρὸς νότον κατ' ἀρχάς, εἶτ' ἐπιστρέφων εὐθὺς ἀπὸ τῆς δύσεως ἐπὶ τὴν ἀνατολὴν καὶ τὸν Πόντον. ἄρχεται μὲν οὖν ἀπὸ τῶν Γερμανικῶν ἄκρων τῶν ἑσπερίων, πλησίον δὲ καὶ τοῦ μυχοῦ τοῦ Ἀδριατικοῦ, διέχων αὐτοῦ περὶ χιλίους σταδίους· τελευτᾷ δ' εἰς τὸν Πόντον οὐ πολὺ ἄπωθεν τῶν τοῦ Τύρα καὶ τοῦ Βορυσθένους ἐκβολῶν, ἐκκλίνων πως πρὸς ἄρκτους. προσάρκτια μὲν οὖν ἐστι τῷ Ἴστρῳ τὰ πέραν τοῦ Ῥήνου καὶ τῆς Κελτικῆς· ταῦτα δ' ἐστὶ τά τε Γαλατικὰ ἔθνη καὶ τὰ Γερμανικὰ μέχρι Βασταρνῶν καὶ Τυρεγετῶν καὶ τοῦ Βορυσθένους, καὶ ὅσα μεταξὺ τούτου καὶ Τανάιδος καὶ τοῦ στόματος τῆς Μαιώτιδος εἴς τε τὴν μεσόγαιαν ἀνατείνει μέχρι τοῦ ὠκεανοῦ καὶ τῇ Ποντικῇ κλύζεται θαλάττῃ· μεσημβρινὰ δὲ τά τε Ἰλλυρικὰ καὶ τὰ Θρᾴκια καὶ ὅσα τούτοις ἀναμέμικται τῶν Κελτικῶν ἤ τινων ἄλλων, μέχρι τῆς Ἑλλάδος. λέγωμεν δὲ πρῶτον περὶ τῶν ἐκτὸς τοῦ Ἴστρου· πολὺ γὰρ ἁπλουστέρα τῶν ἐπὶ θάτερα μερῶν ἐστιν.

εὐθὺς τοίνυν τὰ πέραν τοῦ Ῥήνου μετὰ τοὺς Κελτοὺς πρὸς τὴν ἕω κεκλιμένα Γερμανοὶ νέμονται, μικρὸν ἐξαλλάττοντες τοῦ Κελτικοῦ φύλου τῷ τε πλεονασμῷ τῆς ἀγριότητος καὶ τοῦ μεγέθους καὶ τῆς ξανθότητος, τἆλλα δὲ παραπλήσιοι καὶ μορφαῖς καὶ ἤθεσι καὶ βίοις ὄντες, οἵους εἰρήκαμεν τοὺς Κελτούς. διὸ δὴ καί μοι δοκοῦσι Ῥωμαῖοι τοῦτο αὐτοῖς θέσθαι τοὔνομα ὡς ἂν γνησίους Γαλάτας φράζειν βουλόμενοι· γνήσιοι γὰρ οἱ Γερμανοὶ κατὰ τὴν Ῥωμαίων διάλεκτον.

ἔστι δὲ τὰ μὲν πρῶτα μέρη τῆς χώρας ταύτης τὰ πρὸς τῷ Ῥήνῳ μέχρι τῶν ἐκβολῶν ἀπὸ τῆς πηγῆς ἀρξαμένοις· σχεδὸν δέ τι καὶ τοῦτ' ἔστι τὸ ἑσπέριον τῆς χώρας πλάτος, ἡ ποταμία πᾶσα. ταύτης δὲ τὰ μὲν εἰς τὴν Κελτικὴν μετήγαγον Ῥωμαῖοι, τὰ δ' ἔφθη μεταστάντα εἰς τὴν ἐν βάθει χώραν, καθάπερ Μαρσοί· λοιποὶ δ' εἰσὶν ὀλίγοι καὶ τῶν Σουγάμβρων μέρος. μετὰ δὲ τοὺς παραποταμίους τἆλλά ἐστιν ἔθνη τὰ μεταξὺ τοῦ Ῥήνου καὶ τοῦ Ἄλβιος ποταμοῦ, ὃς παράλληλός πως ἐκείνῳ ῥεῖ πρὸς τὸν ὠκεανόν, οὐκ ἐλάττω χώραν διεξιὼν ἤπερ ἐκεῖνος. εἰσὶ δὲ μεταξὺ καὶ ἄλλοι ποταμοὶ πλωτοὶ ὧν ἐν τῷ Ἀμασίᾳ Δροῦσος Βρουκτέρους κατεναυμάχησε, ῥέοντες ὡσαύτως ἀπὸ νότου πρὸς βορρᾶν καὶ τὸν ὠκεανόν. ἐξῆρται γὰρ ἡ χώρα πρὸς νότον καὶ συνεχῆ ταῖς Ἄλπεσι ποιεῖ ῥάχιν τινὰ πρὸς ἕω τεταμένην, ὡς ἂν μέρος οὖσαν τῶν Ἄλπεων· καὶ δὴ καὶ ἀπεφάνητό τινες οὕτως διά τε τὴν λεχθεῖσαν θέσιν καὶ διὰ τὸν τὴν αὐτὴν ὕλην ἐκφέρειν· οὐ μὴν ἐπὶ τοσοῦτό γε ὕψος ἀνίσχει τὰ ταύτῃ ὄρη. ἐνταῦθα δ' ἐστὶν ὁ Ἑρκύνιος δρυμὸς καὶ τὰ τῶν Σοηβῶν ἔθνη, τὰ μὲν οἰκοῦντα ἐντὸς τοῦ δρυμοῦ, ἐν οἷς ἐστι καὶ τὸ Βουίαιμον τὸ τοῦ Μαροβόδου βασίλειον, εἰς ὃν ἐκεῖνος τόπον ἄλλους τε μετανέστησε πλείους καὶ δὴ καὶ τοὺς ὁμοεθνεῖς ἑαυτῷ Μαρκομμάνους. ἐπέστη γὰρ τοῖς πράγμασιν οὗτος ἐξ ἰδιώτου μετὰ τὴν ἐκ Ῥώμης ἐπάνοδον· νέος γὰρ ἦν ἐνθάδε καὶ εὐεργετεῖτο ὑπὸ τοῦ Σεβαστοῦ, ἐπανελθὼν δὲ ἐδυνάστευε καὶ κατεκτήσατο πρὸς οἷς εἶπον Λουγίους τε, μέγα ἔθνος, καὶ

Ζούμους καὶ Γούτωνας καὶ Μουγίλωνας καὶ Σιβίνους καὶ τῶν Σοηβῶν αὐτῶν μέγα ἔθνος, Σέμνωνας. πλὴν τά γε τῶν Σοηβῶν, ὡς ἔφην, ἔθνη τὰ μὲν ἐντὸς οἰκεῖ, τὰ δὲ ἐκτὸς τοῦ δρυμοῦ, ὅμορα τοῖς Γέταις. μέγιστον μὲν οὖν τὸ τῶν Σοηβῶν ἔθνος· διήκει γὰρ ἀπὸ τοῦ Ῥήνου μέχρι τοῦ Ἄλβιος· μέρος δέ τι αὐτῶν καὶ πέραν τοῦ Ἄλβιος νέμεται, καθάπερ Ἑρμόνδοροι καὶ Λαγκοβάρδοι· νυνὶ δὲ καὶ τελέως εἰς τὴν περαίαν οὗτοι γε ἐκπεπτώκασι φεύγοντες. κοινὸν δ' ἐστὶν ἅπασι τοῖς ταύτῃ τὸ περὶ τὰς μεταναστάσεις εὐμαρὲς διὰ τὴν λιτότητα τοῦ βίου καὶ διὰ τὸ μὴ γεωργεῖν μηδὲ θησαυρίζειν, ἀλλ' ἐν καλυβίοις οἰκεῖν ἐφήμερον ἔχουσι παρασκευήν· τροφὴ δ' ἀπὸ θρεμμάτων ἡ πλείστη καθάπερ τοῖς νομάσιν, ὥστ' ἐκείνους μιμούμενοι τὰ οἰκεῖα ταῖς ἁρμαμάξαις ἐπάραντες ὅπῃ ἂν δόξῃ τρέπονται μετὰ τῶν βοσκημάτων. ἄλλα δ' ἐνδεέστερά ἐστιν ἔθνη Γερμανικὰ Χηροῦσκοί τε καὶ Χάττοι καὶ Γαμαβριούιοι καὶ Χαττουάριοι· πρὸς δὲ τῷ ὠκεανῷ Σούγαμβροί τε καὶ Χαῦβοι καὶ Βρούκτεροι καὶ Κίμβροι Καῦκοι τε καὶ Καοῦλκοι καὶ Καμψιανοὶ καὶ ἄλλοι πλείους. ἐπὶ ταὐτὰ δὲ τῷ Ἀμασίᾳ φέρονται Βίσουργίς τε καὶ Λουπίας ποταμός, διέχων Ῥήνου περὶ ἑξακοσίους σταδίους, ῥέων διὰ Βρουκτέρων τῶν ἐλαττόνων. ἔστι δὲ καὶ Σάλας ποταμός, οὗ μεταξὺ καὶ τοῦ Ῥήνου πολεμῶν καὶ κατορθῶν Δροῦσος ἐτελεύτησεν ὁ Γερμανικός. ἐχειρώσατο δ' οὐ μόνον τῶν ἐθνῶν τὰ πλεῖστα, ἀλλὰ καὶ τὰς ἐν τῷ παράπλῳ νήσους, ὧν ἐστι καὶ ἡ Βυρχανίς, ἣν ἐκ πολιορκίας εἷλε.

γνώριμα δὲ ταῦτα κατέστη τὰ ἔθνη πολεμοῦντα πρὸς Ῥωμαίους, εἶτ' ἐνδιδόντα καὶ πάλιν ἀφιστάμενα ἢ καὶ καταλείποντα τὰ κατοικίας· κἂν πλείω δὲ γνώριμα ὑπῆρξεν, εἰ ἐπέτρεπε τοῖς στρατηγοῖς ὁ Σεβαστὸς διαβαίνειν τὸν Ἄλβιν μετιοῦσι τοὺς ἐκεῖσε ἀπανισταμένους. νυνὶ δ' εὐπορώτερον ὑπέλαβε στρατηγεῖν τὸν ἐν χερσὶ πόλεμον, εἰ τῶν ἔξω τοῦ Ἄλβιος καθ' ἡσυχίαν ὄντων ἀπέχοιτο καὶ μὴ παροξύνοι πρὸς τὴν κοινωνίαν τῆς ἔχθρας. ἤρξαντο δὲ τοῦ πολέμου Σούγαμβροι πλησίον οἰκοῦντες τοῦ Ῥήνου, Μέλωνα ἔχοντες ἡγεμόνα· κἀκεῖθεν ἤδη διεδέχοντο ἄλλοτ' ἄλλοι δυναστεύοντες καὶ καταλυόμενοι, πάλιν δ' ἀφιστάμενοι, προδιδόντες καὶ τὰ ὅμηρα καὶ τὰς πίστεις. πρὸς οὓς ἡ μὲν ἀπιστία μέγα ὄφελος, οἱ δὲ πιστευθέντες τὰ μέγιστα κατέβλαψαν, καθάπερ οἱ Χηροῦσκοι καὶ οἱ τούτοις ὑπήκοοι, παρ' οἷς τρία τάγματα Ῥωμαίων μετὰ τοῦ στρατηγοῦ Οὐάρου Κουιντιλλίου παρασπονδηθέντα ἀπώλετο ἐξ ἐνέδρας. ἔτισαν δὲ δίκας ἅπαντες καὶ παρέσχον τῷ νεωτέρῳ Γερμανικῷ λαμπρότατον θρίαμβον, ἐν ᾧ ἐθριαμβεύθη τῶν ἐπιφανεστάτων ἀνδρῶν σώματα καὶ γυναικῶν, Σεγιμοῦντός τε Σεγέστου υἱός, Χηρούσκων ἡγεμών, καὶ ἀδελφὴ αὐτοῦ, γυνὴ δ' Ἀρμενίου τοῦ πολεμαρχήσαντος ἐν τοῖς Χηρούσκοις ἐν τῇ πρὸς Οὐᾶρον Κουιντίλλιον παρασπονδήσει καὶ νῦν ἔτι συνέχοντος τὸν πόλεμον, ὄνομα Θουσνέλδα, καὶ υἱὸς τριετὴς Θουμέλικος· ἔτι δὲ Σεσίθακος, Σεγιμήρου υἱὸς τῶν Χηρούσκων ἡγεμόνος, καὶ γυνὴ τούτου Ῥαμίς, Οὐκρομήρου θυγατὴρ ἡγεμόνος Χάττων, καὶ

Δευδόριξ, Βαιτόριγος τοῦ Μέλωνος ἀδελφοῦ υἱός, Σούγμαβρος. Σεγέστης δὲ ὁ πενθερὸς τοῦ Ἀρμενίου καὶ ἐξ ἀρχῆς διέστη πρὸς τὴν γνώμην αὐτοῦ καὶ λαβὼν καιρὸν ηὐτομόλησε καὶ τῷ θριάμβῳ παρῆν τῶν φιλτάτων, ἐν τιμῇ ἀγόμενος. ἐπόμπευσε δὲ καὶ Λίβης τῶν Χάττων ἱερεύς, καὶ ἄλλα δὲ σώματα ἐπομπεύθη ἐκ τῶν πεπορθημένων ἐθνῶν, Καούλκων Καμψανῶν Βρουκτέρων Οὐσίπων Χηρούσκων Χάττων Χαττουαρίων Λανδῶν Τουβαττίων. διέχει δὲ τοῦ Ἄλβιος ὁ Ῥῆνος περὶ τρισχιλίους σταδίους, εἴ τις εὐθυπορούσας ἔχοι τὰς ὁδούς· νυνὶ δὲ διὰ σκολιᾶς καὶ ἑλώδους καὶ δρυμῶν κυκλοπορεῖν ἀνάγκη.

ὁ δὲ Ἑρκύνιος δρυμὸς πυκνότερος τέ ἐστι καὶ μεγαλόδενδρος ἐν χωρίοις ἐρυμνοῖς κύκλον περιλαμβάνων μέγαν, ἐν μέσῳ δὲ ἵδρυται χώρα καλῶς οἰκεῖσθαι δυναμένη, περὶ ἧς εἰρήκαμεν. ἔστι δὲ πλησίον αὐτῆς ἥ τε τοῦ Ἴστρου πηγὴ καὶ ἡ τοῦ Ῥήνου καὶ ἡ μεταξὺ ἀμφοῖν λίμνη καὶ τὰ ἕλη τὰ ἐκ τοῦ Ῥήνου διαχεόμενα. ἔστι δ' ἡ λίμνη τὴν μὲν περίμετρον σταδίων πλειόνων ἢ πεντακοσίων, δίαρμα δὲ ἐγγὺς διακοσίων. ἔχει δὲ καὶ νῆσον, ᾗ ἐχρήσαντο ὁρμητηρίῳ Τιβέριος ναυμαχῶν πρὸς Ὀυινδολικούς. νοτιωτέρα δ' ἐστὶ τῶν τοῦ Ἴστρου πηγῶν καὶ αὕτη, ὥστ' ἀνάγκη τῷ τῆς Κελτικῆς ἐπὶ τὸν Ἑρκύνιον δρυμὸν ἰόντι πρῶτον μὲν διαπεράσαι τὴν λίμνην, ἔπειτα τὸν Ἴστρον, εἶτ' ἤδη δι' εὐπετεστέρων χωρίων ἐπὶ τὸν δρυμὸν τὰς προβάσεις ποιεῖσθαι δι' ὀροπεδίων. ἡμερήσιον δ' ἀπὸ τῆς λίμνης προελθὼν Τιβέριος εἶδε τὰς τοῦ Ἴστρου πηγάς. προσάπτονται δὲ τῆς λίμνης ἐπ' ὀλίγον μὲν οἱ Ῥαιτοί, τὸ δὲ πλέον Ἐλουήττιοι καὶ Ὀυινδολικοί, οἰκοῦσιν ὀροπέδια. Ῥαιτοὶ δὲ καὶ Νωρικοὶ μέχρι τῶν Ἀλπείων ὑπερβολῶν ἀνίσχουσι καὶ π̔ρος τὴν Ἰταλίαν περινεύουσιν, οἱ μὲν Ἰνσούβροις συνάπτοντες οἱ δὲ Κάρνοις καὶ τοῖς περὶ τὴν Ἀκυληίαν χωρίοις. ἔστι δὲ καὶ ἄλλη ὕλη μεγάλη Γαβρῆτα ἐπὶ τάδε τῶν Σοηβῶν, ἐπέκεινα δ' ὁ Ἑρκύνιος δρυμός· ἔχεται δὲ κἀκεῖνος ὑπ' αὐτῶν.

εἰ-ρη-κό-σι δ' ἡ-μῖν πε-ρὶ τῆς Ἰ-βη-ρί-ας καὶ τῶν Κελ-τι-κῶν ἐ-θνῶν καὶ τῶν Ἰ-τα-λι-κῶν σὺν ταῖς πλη-σί-ον νή-σοις ἐ-φε-ξῆς ἂν εἴ-η λέ-γειν τὰ λει-πό-με-να τῆς Εὐ-ρώ-πης μέ-ρη, δι-ε-λοῦ-σι τὸν ἐν-δε-χό-με-νον τρό-πον. λεί-πε-ται δὲ τὰ πρὸς ἕ-ω μὲν τὰ πέ-ραν τοῦ Ῥή-νου μέ-χρι τοῦ Τα-νά-ι-δος καὶ τοῦ στό-μα-τος τῆς Μαι-ώ-τι-δος λί-μνης, καὶ ὅ-σα με-τα-ξὺ τοῦ Ἀ-δρί-ου καὶ τῶν ἀ-ρι-στε-ρῶν τῆς Πον-τι-κῆς θα-λάτ-της με-ρῶν ἀ-πο-λαμ-βά-νει πρὸς νό-τον μέ-χρι τῆς Ἑλ-λά-δος καὶ τῆς Προ-πον-τί-δος ὁ Ἴ-στρος· δι-αι-ρεῖ γὰρ οὗ-τος ἅ-πα-σαν ὡς ἐγ-γυ-τά-τω δί-χα τὴν λε-χθεῖ-σαν γῆν, μέ-γι-στος τῶν κα-τὰ τὴν Εὐ-ρώ-πην πο-τα-μῶν, ῥέ-ων πρὸς νό-τον κατ' ἀρ-χάς, εἶτ' ἐ-πι-στρέ-φων εὐ-θὺς ἀ-πὸ τῆς δύ-σε-ως ἐ-πὶ τὴν ἀ-να-το-λὴν καὶ τὸν Πόν-τον. ἄρ-χε-ται μὲν οὖν ἀ-πὸ τῶν Γερ-μα-νι-κῶν ἄ-κρων τῶν ἑ-σπε-ρί-ων, πλη-σί-ον δὲ καὶ τοῦ μυ-χοῦ τοῦ Ἀ-δρι-α-τι-κοῦ, δι-έ-χων αὐ-τοῦ πε-ρὶ χι-λί-ους στα-δί-ους· τε-λευ-τᾷ δ' εἰς τὸν

Πόν-τον οὐ πο-λὺ ἄ-πω-θεν τῶν τοῦ Τύ-ρα καὶ τοῦ Βο-ρυ-σθέ-νους ἐκ-βο-λῶν, ἐκ-κλί-νων πως πρὸς ἄρ-κτους. προσ-άρ-κτι-α μὲν οὖν ἐ-στι τῷ Ἴ-στρῳ τὰ πέ-ραν τοῦ Ῥή-νου καὶ τῆς Κελ-τι-κῆς· ταῦ-τα δ' ἐ-στὶ τά τε Γα-λα-τι-κὰ ἔ-θνη καὶ τὰ Γερ-μα-νι-κὰ μέ-χρι Βα-σταρ-νῶν καὶ Τυ-ρε-γε-τῶν καὶ τοῦ Βο-ρυ-σθέ-νους, καὶ ὅ-σα με-τα-ξὺ τού-του καὶ Τα-νά-ι-δος καὶ τοῦ στό-μα-τος τῆς Μαι-ώ-τι-δος εἴς τε τὴν με-σό-γαι-αν ἀ-να-τεί-νει μέ-χρι τοῦ ὠ-κε-α-νοῦ καὶ τῇ Πον-τι-κῇ κλύ-ζε-ται θα-λάτ-τῃ· με-σημ-βρι-νὰ δὲ τά τε Ἰλ-λυ-ρι-κὰ καὶ τὰ Θρᾴ-κι-α καὶ ὅ-σα τού-τοις ἀ-να-μέ-μι-κται τῶν Κελ-τι-κῶν ἤ τι-νων ἄλ-λων, μέ-χρι τῆς Ἑλ-λά-δος. λέ-γω-μεν δὲ πρῶ-τον πε-ρὶ τῶν ἐ-κτὸς τοῦ Ἴ-στρου· πο-λὺ γὰρ ἁ-πλου-στέ-ρα τῶν ἐ-πὶ θά-τε-ρα με-ρῶν ἐ-στιν.

εὐ-θὺς τοί-νυν τὰ πέ-ραν τοῦ Ῥή-νου με-τὰ τοὺς Κελ-τοὺς πρὸς τὴν ἕ-ω κε-κλι-μέ-να Γερ-μα-νοὶ νέ-μον-ται, μι-κρὸν ἐξ-αλ-λά-τον-τες τοῦ Κελ-τι-κοῦ φύ-λου τῷ τε πλε-ο-να-σμῷ τῆς ἀ-γρι-ό-τη-τος καὶ τοῦ με-γέ-θους καὶ τῆς ξαν-θό-τη-τος, τἆλ-λα δὲ πα-ρα-πλή-σι-οι καὶ μορ-φαῖς καὶ ἤ-θε-σι καὶ βί-οις ὄν-τες, οἵ-ους εἰ-ρή-κα-μεν τοὺς Κελ-τούς. δι-ὸ δὴ καί μοι δο-κοῦ-σι Ῥω-μαῖ-οι τοῦ-το αὐ-τοῖς θέ-σθαι τοὔ-νο-μα ὡς ἂν γνη-σί-ους Γα-λά-τας φρά-ζειν βου-λό-με-νοι· γνή-σι-οι γὰρ οἱ Γερ-μα-νοὶ κα-τὰ τὴν Ῥω-μαί-ων δι-ά-λε-κτον.

ἔ-στι δὲ τὰ μὲν πρῶ-τα μέ-ρη τῆς χώ-ρας ταύ-της τὰ πρὸς τῷ Ῥή-νῳ μέ-χρι τῶν ἐκ-βο-λῶν ἀ-πὸ τῆς πη-γῆς ἀρ-ξα-μέ-νοις· σχε-δὸν δέ τι καὶ τοῦτ' ἔ-στι τὸ ἑ-σπέ-ρι-ον τῆς χώ-ρας πλά-τος, ἡ πο-τα-μί-α πᾶ-σα. ταύ-της δὲ τὰ μὲν εἰς τὴν Κελ-τι-κὴν με-τή-γα-γον Ῥω-μαῖ-οι, τὰ δ' ἔ-φθη με-τα-στάν-τα εἰς τὴν ἐν βά-θει χώ-ραν, κα-θά-περ Μαρ-σοί· λοι-ποὶ δ' εἰ-σὶν ὀ-λί-γοι καὶ τῶν Σου-γάμ-βρων μέ-ρος. με-τὰ δὲ τοὺς πα-ρα-πο-τα-μί-ους τἆλ-λά ἐ-στιν ἔ-θνη τὰ με-τα-ξὺ τοῦ Ῥή-νου καὶ τοῦ Ἄλ-βι-ος πο-τα-μοῦ, ὃς πα-ράλ-λη-λός πως ἐ-κεί-νῳ ῥεῖ πρὸς τὸν ὠ-κε-α-νόν, οὐκ ἐ-λάτ-τω χώ-ραν δι-εξ-ι-ὼν ἤ-περ ἐ-κεῖ-νος. εἰ-σὶ δὲ με-τα-ξὺ καὶ ἄλ-λοι πο-τα-μοὶ πλω-τοὶ ὧν ἐν τῷ Ἀ-μα-σί-ᾳ Δροῦ-σος Βρου-κτέ-ρους κα-τε-ναυ-μά-χη-σε, ῥέ-ον-τες ὡσ-αύ-τως ἀ-πὸ νό-του πρὸς βορ-ρᾶν καὶ τὸν ὠ-κε-α-νόν. ἐξ-ῆρ-ται γὰρ ἡ χώ-ρα πρὸς νό-τον καὶ συν-ε-χῇ ταῖς Ἄλ-πε-σι ποι-εῖ ῥά-χιν τι-νὰ πρὸς ἕ-ω τε-τα-μέ-νην, ὡς ἂν μέ-ρος οὖ-σαν τῶν Ἄλ-πε-ων· καὶ δὴ καὶ ἀ-πε-φά-νη-τό τι-νες οὕ-τως δι-ά τε τὴν λε-χθεῖ-σαν θέ-σιν καὶ δι-ὰ τὸν τὴν αὐ-τὴν ὕ-λην ἐκ-φέ-ρειν· οὐ μὴν ἐ-πὶ το-σοῦ-τό γε ὕ-ψος ἀ-νί-σχει τὰ ταύ-τῃ ὄ-ρη. ἐν-ταῦ-θα δ' ἐ-στὶν ὁ Ἑρ-κύ-νι-ος δρυ-μὸς καὶ τὰ τῶν Σο-η-βῶν ἔ-θνη, τὰ μὲν οἰ-κοῦν-τα ἐν-τὸς τοῦ δρυ-μοῦ, ἐν οἷς ἐ-στι καὶ τὸ Βο-υί-αι-μον τὸ τοῦ Μα-ρο-βό-δου βα-σί-λει-ον, εἰς ὃν ἐ-κεῖ-νος τό-πον ἄλ-λους τε με-τα-νέ-στη-σε πλεί-ους καὶ δὴ καὶ τοὺς ὁ-μο-ε-θνεῖς ἑ-αυ-τῷ Μαρ-κομ-μά-νους. ἐ-πέ-στη γὰρ τοῖς πρά-γμα-σιν οὗ-τος ἐξ ἰ-δι-ώ-του με-τὰ τὴν ἐκ Ῥώ-μης ἐ-πά-νο-δον· νέ-ος γὰρ ἦν ἐν-θά-δε καὶ εὐ-ερ-γε-τεῖ-το ὑ-πὸ τοῦ Σε-βα-στοῦ, ἐ-πα-νελ-θὼν δὲ ἐ-δυ-νά-στευ-ε καὶ κα-τε-κτή-σα-το πρὸς οἷς εἶ-πον Λου-γί-ους

τε, μέ-γα ἔ-θνος, καὶ Ζούμους καὶ Γού-τω-νας καὶ Μου-γί-λω-νας καὶ Σι-βί-νους καὶ τῶν Σο-η-βῶν αὐ-τῶν μέ-γα ἔ-θνος, Σέ-μνω-νας. πλὴν τά γε τῶν Σο-η-βῶν, ὡς ἔ-φην, ἔ-θνη τὰ μὲν ἐν-τὸς οἰ-κεῖ, τὰ δὲ ἐ-κτὸς τοῦ δρυ-μοῦ, ὅ-μο-ρα τοῖς Γέ-ταις. μέ-γι-στον μὲν οὖν τὸ τῶν Σο-η-βῶν ἔ-θνος· δι-ή-κει γὰρ ἀ-πὸ τοῦ Ῥή-νου μέ-χρι τοῦ Ἄλ-βι-ος· μέ-ρος δέ τι αὐ-τῶν καὶ πέ-ραν τοῦ Ἄλ-βι-ος νέ-με-ται, κα-θά-περ Ἑρ-μόν-δο-ροι καὶ Λαγ-κο-βάρ-δοι· νυ-νὶ δὲ καὶ τε-λέ-ως εἰς τὴν πε-ραί-αν οὗ-τοι γε ἐκ-πε-πτώ-κα-σι φεύ-γον-τες. κοι-νὸν δ' ἐ-στὶν ἅ-πα-σι τοῖς ταύ-τῃ τὸ πε-ρὶ τὰς με-τα-να-στά-σεις εὐ-μα-ρὲς δι-ὰ τὴν λι-τό-τη-τα τοῦ βί-ου καὶ δι-ὰ τὸ μὴ γε-ωρ-γεῖν μη-δὲ θη-σαυ-ρί-ζειν, ἀλλ' ἐν κα-λυ-βί-οις οἰ-κεῖν ἐ-φή-με-ρον ἔ-χου-σι πα-ρα-σκευ-ήν· τρο-φὴ δ' ἀ-πὸ θρεμ-μά-των ἡ πλεί-στη κα-θά-περ τοῖς νο-μά-σιν, ὥστ' ἐ-κεί-νους μι-μού-με-νοι τὰ οἰ-κεῖ-α ταῖς ἁρ-μα-μά-ξαις ἐ-πά-ραν-τες ὅ-πῃ ἂν δό-ξῃ τρέ-πον-ται με-τὰ τῶν βο-σκη-μά-των. ἄλ-λα δ' ἐν-δε-έ-στε-ρά ἐ-στιν ἔ-θνη Γερ-μα-νι-κὰ Χη-ροῦ-σκοί τε καὶ Χάτ-τοι καὶ Γα-μα-βρι-ού-ι-οι καὶ Χατ-του-ά-ρι-οι· πρὸς δὲ τῷ ὠ-κε-α-νῷ Σού-γαμ-βροί τε καὶ Χαῦ-βοι καὶ Βρού-κτε-ροι καὶ Κίμ-βροι Καῦ-κοι τε καὶ Κα-οῦλ-κοι καὶ Καμ-ψι-α-νοὶ καὶ ἄλ-λοι πλεί-ους. ἐ-πὶ ταὐ-τὰ δὲ τῷ Ἀ-μα-σί-ᾳ φέ-ρον-ται Βί-σουρ-γίς τε καὶ Λου-πί-ας πο-τα-μός, δι-έ-χων Ῥή-νου πε-ρὶ ἑ-ξα-κο-σί-ους στα-δί-ους, ῥέ-ων δι-ὰ Βρου-κτέ-ρων τῶν ἐ-λατ-τό-νων. ἔ-στι δὲ καὶ Σά-λας πο-τα-μός, οὗ με-τα-ξὺ καὶ τοῦ Ῥή-νου πο-λε-μῶν καὶ κα-τορ-θῶν Δροῦ-σος ἐ-τε-λεύ-τη-σεν ὁ Γερ-μα-νι-κός. ἐ-χει-ρώ-σα-το δ' οὐ μό-νον τῶν ἐ-θνῶν τὰ πλεῖ-στα, ἀλ-λὰ καὶ τὰς ἐν τῷ πα-ρά-πλῳ νή-σους, ὧν ἐ-στι καὶ ἡ Βυρ-χα-νίς, ἣν ἐκ πο-λι-ορ-κί-ας εἶ-λε.

γνώ-ρι-μα δὲ ταῦ-τα κα-τέ-στη τὰ ἔ-θνη πο-λε-μοῦν-τα πρὸς Ῥω-μαί-ους, εἶτ' ἐν-δι-δόν-τα καὶ πά-λιν ἀ-φι-στά-με-να ἢ καὶ κα-τα-λεί-πον-τα τὰ κα-τοι-κί-ας· κἂν πλεί-ω δὲ γνώ-ρι-μα ὑ-πῆρ-ξεν, εἰ ἐ-πέ-τρε-πε τοῖς στρα-τη-γοῖς ὁ Σε-βα-στὸς δι-α-βαί-νειν τὸν Ἄλ-βιν με-τι-οῦ-σι τοὺς ἐ-κεῖ-σε ἀ-πα-νι-στα-μέ-νους. νυ-νὶ δ' εὐ-πο-ρώ-τε-ρον ὑ-πέ-λα-βε στρα-τη-γεῖν τὸν ἐν χερ-σὶ πό-λε-μον, εἰ τῶν ἔ-ξω τοῦ Ἄλ-βι-ος καθ' ἡ-συ-χί-αν ὄν-των ἀ-πέ-χοι-το καὶ μὴ πα-ρο-ξύ-νοι πρὸς τὴν κοι-νω-νί-αν τῆς ἔ-χθρας. ἦρ-ξαν-το δὲ τοῦ πο-λέ-μου Σού-γαμ-βροι πλη-σί-ον οἰ-κοῦν-τες τοῦ Ῥή-νου, Μέ-λω-να ἔ-χον-τες ἡ-γε-μό-να· κἀ-κεῖ-θεν ἤ-δη δι-ε-δέ-χον-το ἄλ-λοτ' ἄλ-λοι δυ-να-στεύ-ον-τες καὶ κα-τα-λυ-ό-με-νοι, πά-λιν δ' ἀ-φι-στά-με-νοι, προ-δι-δόν-τες καὶ τὰ ὅ-μη-ρα καὶ τὰς πί-στεις. πρὸς οὓς ἡ μὲν ἀ-πι-στί-α μέ-γα ὄ-φε-λος, οἱ δὲ πι-στευ-θέν-τες τὰ μέ-γι-στα κα-τέ-βλα-ψαν, κα-θά-περ οἱ Χη-ροῦ-σκοι καὶ οἱ τού-τοις ὑ-πή-κο-οι, παρ' οἷς τρί-α τά-γμα-τα Ῥω-μαί-ων με-τὰ τοῦ στρα-τη-γοῦ Ὀ-υ-ά-ρου Κου-ιν-τιλ-λί-ου πα-ρα-σπον-δη-θέν-τα ἀ-πώ-λε-το ἐξ ἐν-έ-δρας. ἔ-τι-σαν δὲ δί-κας ἅ-παν-τες καὶ πα-ρέ-σχον τῷ νε-ω-τέ-ρῳ Γερ-μα-νι-κῷ λαμ-πρό-τα-τον θρί-αμ-βον, ἐν ᾧ ἐ-θρι-αμ-βεύ-η τῶν ἐ-πι-φα-νε-στά-των ἀν-δρῶν σώ-μα-τα καὶ γυ-ναι-κῶν, Σε-

γι-μοῦν-τός τε Σε-γέ-στου υἱ-ός, Χη-ρού-σκων ἡ-γε-μών, καὶ ἀ-δελ-φὴ αὐ-τοῦ, γυ-νὴ δ' Ἀρ-με-νί-ου τοῦ πο-λε-μαρ-χή-σαν-τος ἐν τοῖς Χη-ρού-σκοις ἐν τῇ πρὸς Ὀ-υ-ᾶ-ρον Κου-ιν-τίλ-λι-ον πα-ρα-σπον-δή-σει καὶ νῦν ἔ-τι συν-έ-χον-τος τὸν πό-λε-μον, ὄ-νο-μα Θουσ-νέλ-δα, καὶ υἱ-ὸς τρι-ε-τὴς Θου-μέ-λι-κος· ἔ-τι δὲ Σε-σί-θα-κος, Σε-γι-μή-ρου υἱ-ὸς τῶν Χη-ρού-σκων ἡ-γε-μό-νος, καὶ γυ-νὴ τού-του Ῥα-μίς, Οὐ-κρο-μή-ρου θυ-γα-τὴρ ἡ-γε-μό-νος Χάτ-των, καὶ Δευ-δό-ριξ, Βαι-τό-ρι-γος τοῦ Μέ-λω-νος ἀ-δελ-φοῦ υἱ-ός, Σού-γμα-βρος. Σε-γέ-στης δὲ ὁ πεν-θε-ρὸς τοῦ Ἀρ-με-νί-ου καὶ ἐξ ἀρ-χῆς δι-έ-στη πρὸς τὴν γνώ-μην αὐ-τοῦ καὶ λα-βὼν και-ρὸν ηὐ-το-μό-λη-σε καὶ τῷ θρι-άμ-βῳ πα-ρῆν τῶν φιλ-τά-των, ἐν τι-μῇ ἀ-γό-με-νος. ἐ-πόμ-πευ-σε δὲ καὶ Λί-βης τῶν Χάτ-των ἱ-ε-ρεύς, καὶ ἄλ-λα δὲ σώ-μα-τα ἐ-πομ-πεύ-θη ἐκ τῶν πε-πορ-θη-μέ-νων ἐ-θνῶν, Κα-ούλ-κων Καμ-ψα-νῶν Βρου-κτέ-ρων Οὐ-σί-πων Χη-ρού-σκων Χάτ-των Χατ-του-α-ρί-ων Λαν-δῶν Του-βατ-τί-ων. δι-έ-χει δὲ τοῦ Ἄλ-βι-ος ὁ Ῥῆ-νος πε-ρὶ τρισ-χι-λί-ους στα-δί-ους, εἴ τις εὐ-θυ-πο-ρού-σας ἔ-χοι τὰς ὁ-δούς· νυ-νὶ δὲ δι-ὰ σκο-λι-ᾶς καὶ ἑ-λώ-δους καὶ δρυ-μῶν κυ-κλο-πο-ρεῖν ἀ-νάγ-κη.

ὁ δὲ Ἑρ-κύ-νι-ος δρυ-μὸς πυ-κνό-τε-ρος τέ ἐ-στι καὶ με-γα-λό-δεν-δρος ἐν χω-ρί-οις ἐ-ρυ-μνοῖς κύ-κλον πε-ρι-λαμ-βά-νων μέ-γαν, ἐν μέ-σῳ δὲ ἵ-δρυ-ται χώ-ρα κα-λῶς οἰ-κεῖ-σθαι δυ-να-μέ-νη, πε-ρὶ ἧς εἰ-ρή-κα-μεν. ἔ-στι δὲ πλη-σί-ον αὐ-τῆς ἥ τε τοῦ Ἴ-στρου πη-γὴ καὶ ἡ τοῦ Ῥή-νου καὶ ἡ με-τα-ξὺ ἀμ-φοῖν λί-μνη καὶ τὰ ἕ-λη τὰ ἐκ τοῦ Ῥή-νου δι-α-χε-ό-με-να. ἔ-στι δ' ἡ λί-μνη τὴν μὲν πε-ρί-με-τρον στα-δί-ων πλει-ό-νων ἢ πεν-τα-κο-σί-ων, δί-αρ-μα δὲ ἐγ-γὺς δι-α-κο-σί-ων. ἔ-χει δὲ καὶ νῆ-σον, ᾗ ἐ-χρή-σαν-το ὁρ-μη-τη-ρί-ῳ Τι-βέ-ρι-ος ναυ-μα-χῶν πρὸς Ὀ-υιν-δο-λι-κούς. νο-τι-ω-τέ-ρα δ' ἐ-στὶ τῶν τοῦ Ἴ-στρου πη-γῶν καὶ αὕ-τη, ὥστ' ἀ-νάγ-κη τῷ τῆς Κελ-τι-κῆς ἐ-πὶ τὸν Ἑρ-κύ-νι-ον δρυ-μὸν ἰ-όν-τι πρῶ-τον μὲν δι-α-πε-ρᾶ-σαι τὴν λί-μνην, ἔ-πει-τα τὸν Ἴ-στρον, εἶτ' ἤ-δη δι' εὐ-πε-τε-στέ-ρων χω-ρί-ων ἐ-πὶ τὸν δρυ-μὸν τὰς προ-βά-σεις ποι-εῖ-σθαι δι' ὀ-ρο-πε-δί-ων. ἡ-με-ρή-σι-ον δ' ἀ-πὸ τῆς λί-μνης προ-ελ-θὼν Τι-βέ-ρι-ος εἶ-δε τὰς τοῦ Ἴ-στρου πη-γάς. προσ-ά-πτον-ται δὲ τῆς λί-μνης ἐπ' ὀ-λί-γον μὲν οἱ Ῥαι-τοί, τὸ δὲ πλέ-ον Ἑ-λου-ήτ-τι-οι καὶ Ὀ-υιν-δο-λι-κοί, οἰ-κοῦ-σιν ὀ-ρο-πέ-δι-α. Ῥαι-τοὶ δὲ καὶ Νω-ρι-κοὶ μέ-χρι τῶν Ἀλ-πεί-ων ὑ-περ-βο-λῶν ἀ-νί-σχου-σι καὶ π̓ρος τὴν Ἰ-τα-λί-αν πε-ρι-νεύ-ου-σιν, οἱ μὲν Ἰν-σού-βροις συν-ά-πτον-τες οἱ δὲ Κάρ-νοις καὶ τοῖς πε-ρὶ τὴν Ἀ-κυ-λη-ί-αν χω-ρί-οις. ἔ-στι δὲ καὶ ἄλ-λη ὕ-λη με-γά-λη Γα-βρῆ-τα ἐ-πὶ τά-δε τῶν Σο-η-βῶν, ἐ-πέ-κει-να δ' ὁ Ἑρ-κύ-νι-ος δρυ-μός· ἔ-χε-ται δὲ κἀ-κεῖ-νος ὑπ' αὐ-τῶν.

Στράβων, *Γεωγραφία* (7.1.1–7.1.5)